3/563

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

## ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΦΑΝΟΥΡΙΟΥ

Χ 854

ΤΟΥ ΝΕΟΦΑΝΟΥΣ

Ὅστις Ἐγνώσθη Περίπου
Τὸ αφ΄. 1500. ἔτους ἀπὸ

**ΧΡΙΣΤΟΥ·**

Ἀντιγραφεῖσα ἐκ τοῦ τετυπωμένου

ΝΕΟΥ ΛΕΙΜΩΝΑΡΙΟΥ

(Καὶ τύποις ἐκδοθεῖσα διὰ συνδρομῆς τῶν Χριστιανῶν).



**ΕΝ ΖΑΚΥΝΘΩ.**

ΤΥΠΟΓΡΑΦΕΙΟΝ «Ο ΖΑΚΥΝΘΟΣ»

1873.

»στοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει, τὸν Κόσμον
»φωτίσαντος.

Κοντάκιον. *Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.*

Ἱερεῖς διέσωσας αἰχμαλωσίας ἀθέου, καὶ δεσμὰ συνέθλασας, δυνάμει θείᾳ θεόφρον, ᾔσχυνας τυράννων θράση γενναιοφρόνως, ηὔφρανας Ἀγγέλων τάξεις Μεγαλομάρτυς, διὰ τοῦτο σε τιμῶμεν, θεῖε Ὁπλῖτα, Φανούριε ἔνδοξε.

## Ὁ ΟΙΚΟΣ.

Ποίους ὕμνους προσοίσω, τῷ ὑπερέκεινα ὕμνων ἁπάντων ἀθλήσαντι; ποίοις δὲ ἐγκωμίων ἄνθεσι τὴν κεφαλὴν καταστέψω, τοῦ ὑπ᾽ Ἀγγέλων οὐρανίῳ στέφει τὴν ψυχὴν κοσμηθέντος; νέος ὤν, ἁπαλῇ τῇ σαρκὶ τῷ δολίῳ προσπλακείς, γενναίως εἰς γῆν κατέρραξε, τὸν τύραννον καταπλήξας· εἰς δὲ τὸ σῶμα αὐτοῦ κατατεθὲν, ἐν οὐρανοῖς μετ᾽ Ἀγγέλων χορεύει αἰωνίως τὸ πνεῦμα· ὅθεν αὐτῷ ἐκβοήσωμεν· ῥῦσαι ἡμᾶς, ἐκ παντοίων κινδύνων, θεῖε Ὁπλῖτα Φανούριε ἔνδοξε.

## Τῷ αὐτῷ Μηνί, κζ΄.

Μνήμη τοῦ Ἁγίου Ἐνδόξου Μεγαλομάρτυρος Φανουρίου τοῦ Νεοφανοῦς.

*Φανούριος φῶς πᾶσι πιστοῖς παρέχει·*
*Κἂν εἰς σκότος δ᾽ ἔκειτο τῆς γαίας μέγα.*
*Ἔνθα σοι σηκὸς Φανούριε ζάθεος ἔνι.*



ΟΥΤΟΣ ὁ λαμπρὸς Ἀθλητὴς τοῦ Κυρίου, καὶ Μάρτυς ἀήττητος, ὁ θαυμαστὸς λέγω Φανούριος, πόθεν ἦτον, καὶ ποίους γονεῖς εἶχε, καὶ εἰς ποῖον καιρὸν, καὶ μὲ τίνας Βασιλεῖς ἔκαμε τὴν πάλην καὶ τὸν ἀγῶνά του, δὲν ἠμπορέσαμεν ποτὲ νὰ τὸ μάθωμεν· ἐπειδὴ καὶ ὁ βίος αὐτοῦ ἐχάθη ἀπὸ τοῦ καιροῦ τὰς ἀνωμαλίας, ἀπὸ τὰς ὁποίας καὶ ἄλλα πολὰ πράγματα ἐχάθησαν, καὶ ἄδηλα καὶ ἀφανῆ ἐγένοντο. Τοῦτο μόνον ἔχομεν γνωστὸν, ὅτι τὸν καιρὸν ὁποῦ ἐξουσίασαν οἱ Ἀγαρηνοὶ τὴν περίφημον Νῆσον Ῥόδον διὰ τὰς ἁμαρτίας μας, ἐκεῖνος ὁποῦ ἔγινεν ἐξουσιαστὴς αὐτῆς τῆς Νήσου, ἐβουλήθη νὰ ἀνακτίσῃ τὰ τειχεῖα τῆς χώρας, ὁποῦ τὰ εἶχαν προτήτερα οἱ πολέμιοι κατηδαφισμένα. Ἦσαν δὲ εἰς τὸ ἔξω μέρος τοῦ κάστρου, κάποια χαλασμένα ὀσπήτια, τὰ ὁποῖα ᾄδεται λόγος, πῶς νὰ ἦτον αὐτὸ τὸ πρῶτον κάστρον, τὸ ὁποῖον εἶναι πρὸς τὸ Νότιον μέρος τοῦ κάστρου, μακρὰν ὡς ἕνα στάδιον· ἀπὸ ἐκεῖνα λοιπὸν τὰ χαλάσματα, ἐσύναξεν ὁ Ἀγαρηνὸς τὰς πέτρας διὰ τὴν οἰκοδομήν. Ἐκεῖ σκάπτωντας καὶ ἀναχώνωντας τὸν τόπον ἐκεῖνον, εὑρέθη μία ὡραιοτάτη Ἐκκλησία· πλὴν ἦτον, καὶ αὐτὴ εἰς μέρος χαλασμένη· ἀναχώνωντας λοιπὸν ἕως τὸ ἔδαφος, εὑρέθησαν καὶ πολλαὶ εἰκόνες, ἀμὴ διεφθαρμέναι καὶ ἠφανισμέναι, μόνη δὲ ἡ τοῦ Ἁγίου Φανουρίου εἰκὼν, ἦτον σῶα καὶ γερὴ, ὡσὰν νὰ ἤθελε τὴν ζωγραφίσῃ τινὰς τὴν αὐτὴν ἡμέραν. Εὑρεθέντος λοιπὸν τούτου τοῦ πανσέπτου Ναοῦ, μὲ τὰς ἱερὰς ἐκείνας εἰκόνας, ἔρχεται ὁ Πανιερώτατος Ἀρχιερεὺς τοῦ τόπου Νεῖλος ὀνόματι, ἄνθρωπος ἁγιώτατος, καὶ λόγιος, καὶ ἀνέγνωσε τὰ τῆς εἰκόνος ἐκείνης γράμματα, τὰ ὁποῖα ἔλεγον: « ὁ Ἅγιος Φανούριος. » Ἦτον δὲ ἡ εἰκὼν εἰς τοῦτο τὸ σχῆμα· ὁ Ἅγιος στρατιωτικὰ φορεμένος, νέος

πολλὰ εἰς τὴν ἡλικίαν· κρατῶν εἰς τὴν δεξιὰν χεῖρα
Σταυρόν· εἰς τὸ ἄνωθεν μέρος τοῦ Σταυροῦ ἔχει μίαν
ἀναμμένην λαμπάδα· ἔχει δὲ τριγύρου ἡ εἰκόνα αὐτὴ,
σημειωμένα δώδεκα μαρτύρια· ἔχει τὸν Ἅγιον ἐξετα-
ζόμενον ἔμπροσθεν τοῦ ἐξουσιαστοῦ· τὸν ἔχει εὑρισκό-
μενον ἐν μέσῳ στρατιωτῶν, οἱ ὁποῖοι τὸν δέρνουν μὲ
πέτρας εἰς τὸ στόμα, καὶ εἰς τὴν κεφαλήν· τὸν ἔχει κα-
τὰ γῆς ἡπλωμένον καὶ τὸν μαστίζουν οἱ στρατιῶται· τὸν
ἔχει καθήμενον γυμνὸν, καὶ μὲ σιδηρὰ ἐργαλεῖα κατα-
ξένουν τὰς σάρκας του· τὸν ἔχει εὑρισκόμενον εἰς τὴν
φυλακήν· εἶναι πάλιν ἱστάμενος καὶ ἐξεταζόμενος ἔμ-
προσθεν τοῦ τυράννου· εἰς ἄλλο μέρος, καίεται μὲ λαμ-
πάδες· εἶναι εἰς μάγκανον μαγκανιζόμενος· εὑρίσκεται
ἐν μέσῳ θηρίων· εἶναι μὲ ἕνα λίθον μεγάλον πλακω-
μένος· στέκεται ἔμπροσθεν τῶν εἰδώλων βαστῶντας εἰς
τὰς χεῖράς του κάρβουνα ἀναμμένα, καὶ ἕνας διάβολος
εἰς τὸν ἀέρα, ὡσὰν νὰ θρηνῇ καὶ νὰ κλαίῃ· φαίνεται ἀνά-
μεσα εἰς μίαν μεγάλην κάμινον ὀρθῶς, ὡσὰν νὰ κάμνῃ
προσευχὴν, ἔχωντας εἰς τὸν οὐρανὸν τὰς χεῖράς του
σηκωμένας. Ἀπὸ ταῦτα λοιπὸν τὰ δώδεκα μαρτυρικὰ
σημεῖα, ὁποῦ ἦσαν ζωγραφισμένα εἰς τὴν εἰκόνα, ἐκατά-
λαβεν ὁ Ἀρχιερεὺς, πῶς εἶναι Μάρτυς ὁ Ἅγιος, Πα-
ρευθὺς λοιπὸν ὁ καλὸς ἐκεῖνος, καὶ εὐλαβὴς Ἀρχιε-
ρεὺς, ἔστειλε πρέσβεις εἰς τοὺς Ἡγεμόνας τοῦ τόπου,
νὰ τοὺς δώσουν τὸν Ναὸν αὐτὸν νὰ τὸν ἀνακαινίσου, ἀ-
μὴ δὲν ἠθέλησαν· ὅθεν ἐπῆγε μοναχός του ὁ Ἀρχιε-
ρεὺς εἰς τὴν Κωνσταντινούπολιν, καὶ ἐπῆρεν ὁρισμὸν νὰ
τὸν κτίσουν, καὶ οὕτως ἀνεκαινίσθη, καθὼς φαίνεται ἕ-
ως τῆς σήμερον, ἔξω τῆς χώρας, πολλῶν, θαυμάτων·
αὐτουργός· ἀπὸ τὰ ὁποῖα διηγοῦμαι ἕνα εἰς πίστωσιν
τῶν πολλῶν, διὰ νὰ εὐφρανθῆτε ὅσοι ἀγαπᾶτε, καὶ εὐ-
λαβεῖσθε τὸν Ἅγιον. Κατ' ἐκεῖνον τὸν καιρὸν, ἡ Νῆσος
Κρήτη δὲν εἶχε Χριστιανὸν (Ὀρθόδοξον) Ἀρχιερέα,
ἀλλὰ Λατῖνον, διατὶ ἐξουσιάζετο ἀπὸ τοὺς Βενετίκους,



οἱ ὁποῖοι μὲ πονηρίαν, δὲν ἄφιναν νὰ γένῃ νέος Ἀρχιε-
ρεὺς, οὔτε Μητροπολίτης, οὔτε Ἐπίσκοπος, ὅταν ἀπέ-
θνησκεν ὁ πρῶτος· ἡ δὲ πονηρία ἦτον, νὰ ἠμπορέσουν μὲ
τὸν καιρὸν, νὰ γυρίσουν τοὺς Ὀρθοδόξους εἰς τὰ Πα-
πικὰ δόγματα· λοιπὸν ἐπήγαινον ὅσοι Ρωμαῖοι ἤθελον
νὰ Ἱερωθοῦν, εἰς τὸ Τσιρίγο καὶ ἐχειροτονοῦντο. Καὶ
λοιπὸν ἕνα καιρὸν εὐγῆκαν ἀπὸ τὴν Κρήτην, τρεῖς Διά-
κονοι καὶ ἐπῆγαν εἰς τὸν Ἀρχιερέα τοῦ Τσιρίγου, καὶ
τοὺς ἐχειροτόνησεν Ἱερεῖς· ἐπιστρέφοντες δὲ πρὸς τὴν
πατρίδα τους τὴν Κρήτην, τοὺς ἐσκλάβωσαν οἱ Ἀγα-
ρηνοὶ εἰς τὸ πέλαγος, καὶ τοὺς ἔφεραν εἰς τὴν Ρό-
δον, καὶ τοὺς ἐπώλησαν πάλιν εἰς Ἀγαρηνούς. Λοιπὸν
οἱ δυστυχεῖς ἐκεῖνοι νεοχειροτόνητοι Ἱερεῖς, ἐθρηνοῦσαν
τὴν συμφοράν των, ἡμέρας καὶ νυκτός. Ἐκεῖ ἤκουσαν
τὰ μεγάλα θαύματα τοῦ Φανουρίου, καὶ εὐθὺς ἔπεσον
εἰς δέησιν μὲ θερμὰ δάκρυα, πρὸς τὸν Ἅγιον, δεόμε-
νοι νὰ τοὺς ἐλευθερώσῃ ἀπὸ τὴν πικρὰν ἐκείνην αἰχ-
μαλωσίαν· πλὴν ἐπειδὴ καὶ ἦσαν χωρισμένοι ὁ καθ'
ἕνας εἰς τὸν ἀφέντην ὁποῦ τὸν ὥριζεν, ἐπῆραν θέλη-
μα καὶ οἱ τρεῖς νὰ ὑπάγουν νὰ προσκυνήσουν εἰς τὸν
Ναὸν τοῦ Ἁγίου· καὶ πηγαίνωντας ἐκεῖ, νεύσει θείᾳ,
ἀνταμώθησαν καὶ οἱ τρεῖς καὶ ἔπεσον ἔμπροσθεν τῆς
ἱερᾶς εἰκόνος τοῦ Ἁγίου, βρέχοντες τὴν γῆν μὲ τὴν
ροὴν τῶν δακρύων τους, νὰ τοὺς ἐλευθερώσῃ ἀπὸ τὰς
χεῖρας τῶν Ἀγαρηνῶν. Ἔπειτα ἀνεχώρησαν ὀλίγον πα-
ρηγορημένοι, πηγαίνωντας καθ' ἕνας εἰς τὸν αὐθέντην
του μὲ ἐλπίδα, ὅτι θέλουσιν εὕρῃ ἔλεος, τὸ ὁποῖον καὶ
ἔγινεν· ἐπειδὴ σπλαγχνισθεὶς ὁ Ἅγιος τὰ δάκρυά τους,
ἐπήκουσε τὴν δέησίν τους. Καὶ τὴν νύκτα ἐκείνην φαί-
νεται εἰς τοὺς Ἀγαρηνοὺς ὁποῦ τοὺς ὥριζαν, προστά-
ζωντάς τους νὰ ἀφήσουν τοὺς δούλους τοῦ Θεοῦ νὰ ὑπά-
γουν νὰ προσκυνήσουν εἰς τὸν Ναόν του, εἰ δὲ μὴ, κα-
κῶς θέλει τοὺς ἀπωλέσῃ· οἱ δὲ Ἀγαρηνοὶ νομίσαντες
μαγείαν τὸ πρᾶγμα, τοὺς ἔβαλαν εἰς ἁλυσίδας, καὶ

βαρύτερα βάσανα· ὁ δὲ Ἅγιος ἦλθε τὴν νύκτα ἐκεί-
νην καὶ τοὺς εὔγαλεν ἀπὸ τὰ δεσμὰ, καὶ τοὺς ἐθάρ-
ρυνε λέγωντας, ὅτι αὔριον, κατὰ πᾶσαν ἀνάγκην, θέλει
τοὺς ἐλευθερώσῃ. Ἔπειτα φαίνεται εἰς τοὺς Ἀγαρηνοὺς,
καὶ ἐλέγχωντάς τους αὐστηρῶς, εἶπεν: ὅτι ἀνίσως καὶ
αὔριον δὲν τοὺς ἐλαυθερώσουν, θέλει ἰδῶσι τὴν δύνα-
μιν τοῦ Θεοῦ, καὶ οὕτως ἔφυγεν ὁ Ἅγιος· (ἀλλ' ὢ τοῦ
θαύματος!) ὅσοι ἦτον εἰς ἐκεῖνα τὰ τρία ὀσπήτια, ὅλοι
τυφλοὶ καὶ παράλυτοι μὲ δριμυτάτους πόνους ἐξημερώ-
θησαν βασανιζόμενοι, μικροὶ ὁμοῦ καὶ μεγάλοι· καὶ λοι-
πὸν ἀπὸ τὰ στρώματα ὁποῦ ἐκείτοντο, διὰ μέσου τῶν
συγγενῶν τους ἐσυμβουλεύθησαν τί νὰ κάμουν· καὶ οὕτως
ἀπεφάσισαν, ὅτι νὰ στείλουν νὰ φέρουν τοὺς σκλάβους,
καὶ ὅταν ἦλθον ἐκεῖνοι οἱ ταλαίπωροι τρεῖς Ἱερεῖς, τοὺς
ἐρώτησαν, ἀνίσως καὶ δύνανται νὰ τοὺς ἰατρεύσουν· ἀπε-
κρίθησαν δὲ ἐκεῖνοι, ὅτι ἡμεῖς μὲν θέλομεν παρακαλέσει
τὸν Θεὸν, ἐκεῖνος δὲ ἂς κάμῃ τὸ θέλημά του. Ἀλλὰ ὁ Ἅ-
γιος πάλιν, τὴν τρίτην νύκτα ἐφάνη εἰς τοὺς Ἀγαρηνοὺς
καὶ τοὺς εἶπεν: ἀνίσως δὲν στείλετε εἰς τὸν οἶκόν μου διὰ
γράμματος τὴν ἐλευθερίαν τους, οὔτε ὑγείαν ἔχετε, οὔ-
τε τὸ ποθούμενον φῶς. Τότε συμβουλευθέντες πάλιν μὲ
τοὺς συγγενεῖς καὶ φίλους τους, ἔστειλε καθ' ἕνας τὸ
ἐλευθερωτικὸν γράμμα τοῦ ἐδικοῦ του σκλάβου, καὶ τὰ ἄφι-
σαν καὶ τὰ τρία ἐμπρὸς εἰς τὴν εἰκόνα τοῦ Ἁγίου· (ἀλλ' ὢ
τοῦ θαύμαχος!) ὥστε νὰ γυρίσουν οἱ ἀπεσταλμένοι ἀπὸ
τὸν Ναὸν, εὑρέθησαν ὑγιεῖς, οἱ πρώην παράλυτοι καὶ τυ-
φλοί· οἱ ὁποῖοι θαυμάσαντες ἠλευθέρωσαν τοὺς Ἱερεῖς
ἐκείνους, καὶ δίδοντες εἰς αὐτοὺς τὰ ἔξοδα τοῦ ταξει-
δίου των, φιλοφρόνως τοὺς ἐπροβόδωσαν, καὶ τοὺς ἔστει-
λα εἰς τὴν πατρίδα τους· οἱ δὲ Ἱερεῖς ἐκεῖνοι ἐζωγρά-
φησαν τὴν εἰκόνα τοῦ Ἁγίου Φανουρίου, καὶ τὴν ἐπῆ-
ραν εἰς τὴν χώραν τους, καὶ κάθε χρόνον ἑώρταζαν εὐ-
λαβῶς τὸν Ἅγιον· οὗ ταῖς ἁγίαις πρεσβείαις Χριστὲ ὁ
Θεὸς, ἐλέησον ἡμᾶς. Ἀμήν·



Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ Ὁσίου πατρὸς ἡμῶν
**Ποιμένος.**

*Ὡς ἐκ λόχου χαίροντος ἡρπάγη βίου,*
*Ποιμὴν τὸ θρέμμα τοῦ μεγίστου Ποιμένος.*
*Ποιμένα εἰς μέγαν ἑβδόμῃ εἰκάδι ᾤχετο Ποιμήν.*

Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ
**Λιβερίου Πάπα Ρώμης.**

*Τὸν πλοῦτον ἀντλεῖν Λιβέριος νῦν ἔχει,*
*Ὃν Οὐρανοῖς ἦν ἐμφρόνως θησαυρίσας.*

Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν
**Ὁσίου Ἐπισκόπου Κουδρούβης.**

*Τὴν κλῆσιν εἰπὼν Ὅσιε τὴν σὴν μόνην.*
*Πληρῶ θανόντι τῶν ἐπαίνων σοι χρέος.*

Ἡ ὑπὸ τοῦ Ἁγίου Φιλίππου γενομένη Βάπτισις τοῦ
**Αἰθίοπος Εὐνούχου.**

*Ἀνὴρ ἐλέγχει τὴν παροιμίαν Σπάδων,*
*Λευκαίνεται γὰρ καὶ πεφυκὼς Αἰθίοψ.*

Ἡ Ἁγία μάρτυς Ἀνθοῦσα ἡ νέα, κέντουκλον, ἤτοι
τρίχινον ῥάκος ἐνδυθεῖσα, καὶ πέτραν εἰς τὸν τράχηλον
περιδεθεῖσα, ἐν φρέατι ῥίπτεται, καὶ τελειοῦται.

*Ὁ Μανδύας σοι πῖλον, ἡ πόρπη πέτρα,*
*Μεθ' ὧν ἀπῆλθες Ἀνθοῦσα βαθὺ φρέαρ.*

Ταῖς αὐτῶν ἁγίαις Πρεσβείαις Χριστὲ ὁ Θεὸς
ἐλέησον ἡμᾶς. Ἀμήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.*

Λίθῳ βαρούμενος τὸ σῶμα, ὁ Φανούριος πρὸς σὲ Σωτὴρ ἐβόα: ἐν τῇ πέτρᾳ τῶν σῶν, Χριστέ μου θελημάτων, στερεωθεὶς τὸ σῶμά μου, ταῖς βασάνοις ἀναλίσκω.

Νῦν περαιοῦται τοῦ Κυρίου, εὐαγγέλιον ὃ ἔφη Ἀποστόλοις, ὁ κρυπτόμενος γὰρ, Ναὸς τοῦ Φανουρίου, ὁ ἐν τῇ Ρόδῳ πρὸ πολλοῦ, εἰς ἡμᾶς νῦν φανεροῦται.

Ἔστης ἐν μέσῳ τῶν θηρίων, ὦ Φανούριε, παραδοθεὶς εἰς βρῶσιν, ἀλλ' ἐφλέχθη σφοδρῶς, τυράννου ἡ καρδία, ὅτε σε εἶδε Δανιὴλ, νέον ὄντα ἐν σταδίῳ.

Θεοτοκίον.

Ὄρος κατάσκιον ἐφάνης ἀχειρότμητος, ἐξ οὗ ἐτμήθη λίθος, τὴν λιθώδη δι' ὅ, κατάνυξον ψυχήν μου, πεπωρωμένην Δέσποινα, ταῖς πικραῖς φιληδονίαις.

Καταβασία.

»Ἔκνοον πρόσταγμα τυράννου, δυσσεβοῦς λαοὺς ἐ»κλόνισε· πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς· ὅ»μως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε θυμὸς θηριώδης, οὐ »πῦρ βρόμεον· ἀλλ' ἀντηχοῦντι δροσοβόλῳ Πνεύματι, »πυρὶ συνόντες ἔψαλλον· ὁ ὑπερύμνητος, τῶν Πατέρων »καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Ὠδὴ η'. Τὸν ἐν ὄρει Ἁγίῳ.*

Τὸν ὡραῖον νυμφίον ἀγαπήσας, σοῦ τὸ νέον καὶ εὐανθοῦν σαρκίον, ὑπὲρ αὐτοῦ ταῖς μάστιξι παρέδωκας· ἐκβοῶν σὺν πόθῳ, πότε σὲ κερδίσω, συνὼν εἰς τοὺς αἰῶνας.

Τοῖς ξοάνοις οὐκ ἔκλινας τὸ γόνυ, τοῖς εἰδώλοις οὐκ ἔνειμας θυσίαν, ἀλλὰ Χριστὸν ἀνδρείως ἐνεκήρυτ-



τες, φέρων τὰς αἰνέσεις, ὡς Θεῷ τῶν ὅλων, εἰς πάντας τοὺς αἰῶνας.

Θαρσαλαίως καὶ μάλα ρωμαλαίως, τῷ τυράννῳ ἐβόας μετὰ θάρσους, οὐ δειλιῶ ὦ τύραννε τὰς μάστιγας· ἔχω γὰρ Σωτῆρα ὅς με ἐξελεῖται ταχέως τῶν χειρῶν σου.

Θεοτοκίον.

Ἑσταμένων βεβαίωσις ὑπάρχεις, καὶ πεσόντων ἀνόρθωσις Παρθένε· δι' ὃ καταπτωθέντα με ἀνάστησον· ἵνα σε δοξάζω τὴν εὐλογημένην καὶ κεχαριτωμένην.

Καταβασία.

»Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι· δημι»ουργὸν Πατέρα, Θεὸν ὑμνεῖτε, τὸν συγκαταβάντα Λό»γον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα, καὶ ὑ»περυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον »εἰς τοὺς αἰῶνας.

*Ὠδὴ θ'. Κυρίως Θεοτόκον.*

Εἰς γῆν τὰ τῶν εἰδώλων, ξόανα συντρίβεις, εἰς οὐρανὸν ἀνυψώσας τὰς χεῖράς σου, καὶ τῶν δαιμόνων τὰ στίφη, θρήνων ἐπλήρωσας.

Ὡς ῥύστης τῶν ἐν θλίψει, σὲ λιτανευόντων, ῥῦσαί με πάσης κακίας Φανούριε, τὸν πεποιθότα παμμάκαρ ἀεὶ τῇ σκέπῃ σου.

Ὁ τύραννος ᾐσχύνθη, ὅτε σε ἑώρα, ἐν τοῖς κινδύνοις ἀεὶ ἀκμαιότερον, ἐκμυκτηρίζοντα τούτου τὴν ἀθεότητα.

Θεοτοκίον

Φωτὸς οὖσα δοχεῖον, φώτισον Παρθένε, τὴν σκοτισθεῖσαν ψυχήν μου τοῖς πάθεσιν· ὅπως ἐν πίστει καὶ πόθῳ, ἀεὶ δοξάζω σε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Καταβασία.

»Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως »βλαστήσασα Χριστόν. ὑφ' οὗ τὸ τοῦ Σταυροῦ, ζωηφό»ρον ἐν γῇ, πεφυτούργηται δένδρον. διὸ νῦν ὑψουμέ»νου, προσκυνοῦντες σὲ μεγαλύνομεν.

Εἱρμὸς ἄλλος.

»Ο διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμε»νος θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον· τῆς »γὰρ Προμήτορος παγγενής, κατάρα διαλέλυται, τῷ »βλαστῷ τῆς Ἁγνῆς Θεομήτορος· ἣν πᾶσαι αἱ δυνά»μεις τῶν Οὐρανῶν μεγαλύνουσι.

*Ἐξαποστειλάριον.*

Τοῖς μαθηταῖς συνέλθωμεν.

Νῦν Ρόδος μεγαλύνεται, τῇ εὑρέσει τοῦ θείου Ναοῦ σου παμμακάριστε, ὦ Φανούριε Μάρτυς, καὶ χαίρει ἐγκαυχωμένη, τῶν θαυμάτων τῷ πλήθει· Ἱερεῖς γὰρ διέσωσας, τρεῖς δουλείας ἀθέου· ὄναρ φανεὶς τοῖς κυρίοις, τούτων καὶ ἐκπλήξας· τυφλότητι χωλότητι, τὸ σκληρὸν ἐκμαλάξας.

Θεοτοκίον,

Δέσποινα πάντων Ἄνασσα, πρόφθασον ἐν κινδύνοις, πρόφθασον ἐν ταῖς θλίψεσι, πάρεσο ἐν ἀνάγκαις, τῆς τελευταίας ἡμέρας, μὴ σατᾶν ἡμᾶς λάβῃ, μὴ ᾅδης, μὴ ἀπώλεια, βήματι τοῦ Υἱοῦ σου, τῷ φοβερῷ, ἀνευθύνους, ἅπαντας παραστῆναι, ὦ Θεομῆτορ Δέσποινα, ὅσα θέλεις ἀνύεις.

Εἰς τοὺς Αἴνους, Στιχηρὰ προσόμοια.

*Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὢ τοῦ παραδόξου θαύματος, ἐν οὐρανῷ καὶ ἐν γῇ,



ἀγαλλίαμα σήμερον, ὅτι γῆθεν ἤνθησε, λύτρον μέγα σωτήριον, Ναὸς ὁ θεῖος, καὶ πανυπέρτιμος τοῦ Φανουρίου, βροτοὶ προσδράμετε, ἅπαντες σήμερον, ἐν ᾀσμάτων ἄνθεσιν, ὅπως δεινῶν, λύσιν ἀπολάβητε, αὐτοῦ δεόμενοι. *Δίς.*

Ὢ τοῦ παραδόξου θαύματος, παιδίον ὢν κομιδῇ, ὁ γενναῖος Φανούριος, χωρὶς ὅπλων ἵσταται, ἐν σταδίῳ φαιδρότατος, μετὰ ἐνόπλων ἀγωνιζόμενος, μετὰ αὐλῶν, χοὶ μαχόμενος, ὢ τῆς ἀνδρείας σου, καὶ στερρᾶς ἀθλήσεως, φίλε Θεοῦ· πῶς ἐχθροὺς κατέβαλες τοὺς πολεμοῦντάς σε.

Ὢ τοῦ παραδόξου θαύματος, ὁ μαργαρίτης Θεοῦ, ὁ ἀγρῷ πρὶν κρυπτόμενος, νῦν ἐν Ρόδῳ ἤυγασται, θησαυρὸς ὡς πολύτιμος, πλουτίζων τέρπων, φωτίζων ἅπαντας, τοὺς προσιόντας, αὐτῷ ἐκ πίστεως· ὅστις Φανούριος, ἔστιν ὁ παμμέγιστος Μάρτυς Χριστοῦ· ὃν ἐγκωμιάζοντες νῦν μεγαλύνομεν.

*Δόξα. Ἦχος πλ. ά.*

Ἐπέλαμψε σήμερον, εὐφρόσυνος ἑορτή, καὶ νέα πανήγυρις, Φανουρίου τοῦ πολυάθλου, καὶ γενναιόφρονος. οὗτος γὰρ ἐν ἀδήλοις ἀθλήσας καιροῖς ἄδηλος ἦν, ναὸς τε καὶ τοὔνομα αὐτοῦ, πᾶσιν ὑπῆρχεν ἀγνώριστος, τυράννων δὲ ἀθέων καταχρατησάντων Ρόδου τῆς περιφήμου, καὶ τὰς κατεδαφισμένας ἑλεπόλεις ἀναχωνύντων, Ναὸς αὐτοῦ καὶ Εἰκών, ἐφάνη ὑπέρλαμπρος, ὃς Βασιλεικῇ ἀδείᾳ ἀνακαινισθείς, πηγὴ ἀνεδείχθη θαυμάτων, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ θαυμαστοῦ ὄντος, ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε.

(ὅπερ βλέπε εἰς τὴν Λιτήν.)

Δοξολογία μεγάλη.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠ

*Καὶ Ἀπόλυσις.*

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἐκ τοῦ Κανονος τοῦ Ἁγίου, Ὠδὴ γ΄. καὶ ς΄.

*Ὁ Ἀπόστολος.*

Προκείμενον Ἦχος δ΄.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ. αὐτοῦ.

*Προωρώμην τὸν Κύριον.*

Πρὸς Ἐφεσίους Ἐπιστολῆς.

Ἀδελφοὶ ἐνδυναμοῦσθαι ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ.

*Τὸ Εὐαγγέλιον.*

Ἐκ τοῦ κατὰ Ἰωάννην. Τοῦ Ἁγίου Γεωργίου

*Κοινωνικόν.*

Εἰς μνημόσυνον αἰώνιον.

———(o)———

# ΜΕΓΑΛΥΝΑΡΙΑ.

Χαίροις τῶν Μαρτύρων ἡ καλλονὴ, Χαίροις τῶν θαυμάτων ὁ ἀκένωτος θησαυρὸς, Χαίροις αἰχμαλώτων, ὁ ρύστης, καὶ προστάτης, Φανούριε τρισμάκαρ, Ροδίων καύχημα.

Ὤφθης ἀθλοφόρος καὶ νικητὴς, Φανούριε Μάρτυς, καὶ ἀήττητος βοηθὸς, θεραπεύων νόσους, ψυχῶν τε καὶ σωμάτων, τῶν ἐπικαλουμένων τὴν σὴν βοήθειαν.

Ἀθλητὰ πανάριστε τοῦ Χριστοῦ, σὺ τὰς τῶν τυράννων κατεφρόνησας ἀπειλὰς. ὅθεν καὶ μυρίας ὑπέμεινας



βασάνους, ἐν μέσῳ τοῦ σταδίου μάρτυς Φανούριε.

Γενναίως ὑπήνεγκας τὰς πληγὰς, φρικτάς τε κολάσεις, καὶ βασάνους ὑπὲρ Χριστοῦ· διό σου ἡ χάρα ἐδέξατο ἐξ ὕψους, τὸν στέφανον τῆς νίκης, Μάρτυς Φανούριε.

Τοὺς ἀσπαζομένους τὴν σεπτὴν, Εἰκόνα ἐν πίστει καὶ ἐτοῦντας σὴν ἀρωγὴν, Μάρτυς κληρονόμους τῆς θείας Βασιλείας, Φανούριε λιταῖς σοῦ πάντας ἀνάδειξον.

ΤΕΛΟΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ

## ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΦΑΝΟΥΡΙΟΥ

ΤΟΥ ΝΕΟΦΑΝΟΥΣ

Ὅστις Ἐγνώσθη Περίπου
Τὸ αφ΄. 1500. ἔτους ἀπὸ

**ΧΡΙΣΤΟΥ**·

Ἀντιγραφεῖσα ἐκ τοῦ τετυπωμένου

ΝΕΟΥ ΛΕΙΜΩΝΑΡΙΟΥ

(Καὶ τύποις ἐκδοθεῖσα διὰ συνδρομῆς τῶν Χριστιανῶν).

...ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**ΕΝ ΖΑΚΥΝΘΩ,**

ΤΥΠΟΓΡΑΦΕΙΟΝ «Ο ΖΑΚΥΝΘΟΣ»

—=o=—

1873.

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΦΑΝΟΥΡΙΟΥ

ΤΟΥ ΝΕΟΦΑΝΟΥΣ

Ὅστις ἐγνώσθη περίπου τὸ αφ΄. 1500. ἔτος ἀπὸ

ΧΡΙΣΤΟΥ

Ἐν Μηνὶ Αὐγούστῳ, κζ΄. 27.

Ἑσπέρας μετὰ τὸν Προοιμιακὸν, στιχολογοῦμεν τὸ Μακάριος Ἀνὴρ, τὸ α΄. Ἀντίφωνον.
Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄. καὶ ψάλλωμεν Στιχηρὰ προσόμοια.

Ἦχος, δ΄.

Ἔδωκας σημείωσιν.

Στύλον εὐσεβείας τε, καὶ στρατιώτην ἀήττητον, οἱ πιστοί σε γινώσκομεν, Φανουρίε ἔνδοξε, ὡς νέον φανέντα, ἐν τῇ Ἐκκλησίᾳ, ἣν καταυγάζεις ὡς ἀστὴρ, καὶ τὰ τοῦ κόσμου φωτίζεις πέρατα, δι᾽ ὃ Χριστὸς ὁ Κύριος, ὁ ἐν ὑψίστοις καθήμενος, τοῖς πιστοῖς σε ἐδήλωσε, τὸν πρὸ πάλαι κρυπτόμενον.

Ἔστης τῆς ἐφέσεως, οἷά περ φθάσας τὸ ἔσχατον, ὀρεκτῶν παναοίδιμε, φωτὸς ἀξιούμενος, ᾧ φωτίζεις πάντας, τοὺς σὲ εὐφημοῦντας, καὶ φανεροῖς τὰ ἐν κρυπτῷ, ὡς ἐνεστῶτα Μάρτυς Φανούριε, δι᾽ ὃ, σου τὸ σεβάσμιον, περικικλοῦμεν εἰκόνισμα, ἐν αὐτῷ κατοπτεύοντες,

τὰ φρικτά σου μαρτύρια.

Εὑρέσει εἰκόνος σου, καὶ τοῦ Ναοῦ τοῦ Ἁγίου σοῦ, ἡ θεόσωστος Πόλις σου, ἡ Ρόδος εὐφραίνεται, ῥύστην σε πλουτοῦσα, καὶ πρόμαχον μέγαν, καὶ τῶν θαυμάτων τὴν πληθὺν, ἃ διανέμεις τοῖς προσιοῦσι, δοξάζει ἐκτελοῦσά σου, τὴν σεβασμίαν πανήγυριν, Ἀθλοφόρε Φανούριε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

*Δόξα, Ἦχος, πλ. β'.*

Ξένα καὶ παράδοξα θαύματα, ὁ Κύριος ἐν τοῖς Ἁγίοις αὐτοῦ ἐθαυμάστωσεν ἑκάστοτε, μεθ' ὧν καὶ ἐν ὑστέροις καιροῖς, τὸν θαυμαστὸν ἐν Μάρτυσι Φανούριον ἄλλον ἥλιον ἀνέδειξε τοῖς θαύμασι λάμποντα· πρὸς ὃν καὶ ἡμεῖς τὸν ὕμνον προσφέρομεν λέγοντες: χαίροις ὁ νεοφανὴς ἀστὴρ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ Μαρτύρων ἀγλάϊσμα, χαίροις ὁ τὸν ἀγῶνα ὑπὲρ Χριστοῦ ἀθλήσας στερρῶς, ἐν γῇ δὲ πλείστοις ἔτεσι κρυπτόμενος, διὰ τῆς εὑρέσεως εἰκόνος τῆς σῆς, ἐν κόσμῳ πεφανέρωσαι παρὰ τοῦ Ἀθλοθέτου Χριστοῦ· χαίροις Ροδίων τὸ ἐγκαλλώπισμα, καὶ τῶν πιστῶν πρεσβευτὰ ἑτοιμότατε, αὐτῷ μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων τὴν σεβάσμιον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον Τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενὴς, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς. φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος Ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, Σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.



*Εἴσοδος. Τὸ Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα*

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος: πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ: γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι, ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς· ἔτι ἀπ' ἀρχῆς ἐγὼ εἰμὶ, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτὸν συνή-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· ἀκούσατε οὖν βασιλεῖς καὶ συνέτε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθαι οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὴν Λιτήν, Ἰδιόμελα.*
*Ἦχος ά. Νικηφόρου.*

Ἐπεφάνη σήμερον, ἡ χάρις τῶν θαυμάτων σου, Φανούριε πανθαύμαστε Μάρτυς τοῦ Χριστοῦ, ἐν τῇ εὑρέσει τοῦ πανσέπτου Ναοῦ σου, καὶ τῆς Θείας Εἰκόνος



σου, αἰχμαλώτους λυτροῦσα, νόσους φυγαδεύουσα, καὶ πάντων τῶν προσιόντων σοι πιστῶς, τὰ πρὸς σωτηρίαν αἰτήματα πληροῦσα, δι' ὃ καὶ ἡμῖν τοῖς μετὰ πόθου τὴν μνήμην τελοῦσί σου, τὴν λύσιν τῶν δεινῶν αἴτησαι παρὰ Θεοῦ, καὶ πταισμάτων τὴν συγχώρησιν, ταῖς πρὸς αὐτὸν εὐπροσδέκτοις ἱκεσίαις σου.

*Δόξα. Ἦχος πλ. α'. Νικηφόρου.*

Σήμερον ἡ ἁγιόφθογγος ρῆσις τοῦ Δαβίδ, ἐπὶ σοὶ πέρας εἴληφε, Φανούριε πολύαθλε, ἡ εἰς μνημόσυνον αἰώνιον φάσκουσα, ἔσται δίκαιος· εἰ γὰρ καὶ ἀμνημονηθέντων σου τῷ χρόνῳ, τοῦ πανσέπτου ὀνόματος, καὶ τῶν ἀθλητικῶν ἀγώνων τοῦ κλέους, ἐν οὐρανῷ μέντοι μνημονευομένων, καὶ ἐν γῇ ἤδη, ἐν τῇ εὑρέσει τῆς θείας εἰκόνος σου, τὴν ἔνδοξον αὐτῶν μνήμην μετ' ἐγκωμίων ἄγομεν, δεόμεθά σου τοίνυν θερμῶς, ὡς ἔχων παρρησίαν πρὸς Χριστόν, μνημόνευε ἡμῶν τῶν εὐφημούντων σε, ρυόμενος κινδύνων τε καὶ θλίψεων, ταῖς πρὸς αὐτὸν ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν Πόλιν τὴν ἄσειστον, τὸ Τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια. Ἦχος δ'.*
Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὥσπερ ρόδον πανεύοσμον, ἡ ἐν δόξῃ ἐκλάμπουσα, Ῥόδος ἡ περίφημος, εὑραμένη σε, χαίρει ὀδμαῖς τῶν θαυμάτων σου, πλησθεῖσα Φανούριε, καὶ δοξάζει σε πιστῶς, καὶ προστρέχει τῇ σκέπῃ σου, τῆς εἰκόνος σου, εὐσεβῶς προσκυνοῦσα χαρακτῆρα, καὶ θαυμάτων τὰ σημεῖα, ἃ σοι Θεὸς ἐδωρήσατο.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ἐξεπλάγησαν ἅπαντες, τὰ ἐξαίφνης βλεπόμενα, τῆς σεπτῆς εἰκόνος σου, πάθη ἔνδοξε, τὰ πλείστοις χρόνοις ἀγνώριστα, ὦ θεῖε Φανούριε, καὶ Ναὸν περικαλῆ, διὰ τοῦτο ἀνήγειραν, καὶ ηὐτρέπισαν, ὑμνῳδίαις ἐνθέοις εὐφημοῦντες, τὸν δοξάσαντά σε Μάρτυς, θαυμάτων πλήθει καὶ χάρισι.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.

Τούτου βίος ἀγνώριστος, τοῖς ἀνθρώποις διέμεινε, μόνῳ γινωσκόμενος, τῷ Θεῷ ἡμῶν, τὸ δὲ αὐτοῦ ἐξεικόνισμα, δεδήλωκεν ἄριστα, οἷος ἦν πρὸς τὸν Θεὸν, νικητῆς φανερούμενος, τοῦ ἀλάστορος, καὶ σεπτὸς Ἀθλοφόρος ὃν ὑμνοῦμεν, καὶ γεραίρομεν ἐκ πόθου, ὡς Ἀθλητὴν γενναιότατον.

*Δοξα. Ἦχος. πλ. δ'.*

Ἄστρον φαεινότατον, ἐπέλαμψε τοῖς πέρασι σήμερον, καὶ τῶν πιστῶν τὰς καρδίας ἐφώτισε· τὸν γὰρ ἐν Ρόδῳ κρυπτόμενον θεῖον ναὸν, ὁ Κύριος ἐφανέρωσεν, οἰκιστὴν ἔχοντα τὸν μέγαν ἐν Μάρτυσι Φανούριον, τὸν ἔνδοξον στρατιώτην καὶ ἀήττητον, ὃν εὐφημοῦντες ἐν ὕμνοις, ἱκετεύσωμεν· ὅπως πρεσβεύῃ ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τελούντων, τὴν ἀεισέβαστον αὐτοῦ, καὶ θείαν πανήγυριν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Τὸ Τροπάριον, Ἦχος δ'.*

Βασίλειον διάδημα.

Οὐράνιον ἐφύμνιον, ἐν γῇ τελεῖται λαμπρῶς, ἐπί-



γειον πανήγυριν νῦν ἑορτάζει φαιδρῶς, Ἀγγέλων πολίτευμα, ἄνωθεν ὑμνῳδίαις, εὐφημοῦσι τοὺς ἄθλους, κάτωθεν Ἐκκλησία, τὴν οὐράνιον δόξαν· ἣν εὗρες πόνοις καὶ ἄθλοις τοῖς σοῖς Φανούριε ἔνδοξε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται. Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Τὸ Θεοτόκε Παρθένε· ἡ εὐλόγησις τῶν ἄρτων.

*Καὶ Ἀπόλυσις.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

*Μετὰ τὴν ά. Στιχολογίαν. Κάθισμα.*

*Ἦχος, ά.*

Τὸν τάφον σου Σωτὴρ.

ΤΟΝ Μέγαν Ἀθλητὴν, εὐφημήσωμεν πάντες, Φανούριον πιστοὶ, τὸν γενναῖον Ὁπλίτην, καὶ ἔνδοξον Μάρτυρα, τὸν ἐν χρόνοις κρυπτόμενον, ὃν ὁ Κύριος, νῦν ἐφανέρωσε πᾶσιν, ἐν τῇ Ρόδῳ τε, καὶ ἐξ αὐτῆς παντὶ κόσμῳ, ὡς θεῖον θησαύρισμα.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἀΰλων στρατιῶν, ὑπερέχουσα Κόρη, καὶ τάξεις οὐρανῶν, ὑπερβαίνουσα μόνη, ἐπάξιον τὴν αἴνεσιν, παρ' αὐτῶν δέχθη πάναγνε, ἀλλὰ πρέσβευε, τῷ σῷ Υἱῷ



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σὺν Ἀγγέλοις, τοῦ ρυσθῆναί με, τῆς τῶν παθῶν τυραννίδος, τὸν μόνον κατάκριτον.

*Μετὰ τὴν β'. Στιχ: Κάθισμα.*

*Ἦχος, δ'.*

Ταχὺ προκατάλαβε.

**Α**θλήσεως καύχημα, Μάρτυς Φανούριε, Χριστὸν ἐνδυσάμενος, κατεπολέμησας, ἐχθρὸν τὸν παμπόνηρον, ὅθεν νῦν τὴν εἰκόνα, τὴν σεπτήν σου εὑρόντες, ᾄσμασιν εὐφημοῦμεν, καὶ τιμῶμέν σε πίστει, καὶ πόθῳ σου δεόμεθα, ρῦσαι ἡμᾶς πειρασμῶν.

Δόξα. καὶ νῦν. Θεοτοκίον.

**Η** μόνη κυήσασα, τὸν Ποιητὴν τοῦ παντὸς, ἡμβνὴ κοσμήσασα τὴν ἀνθρωπότητα, τῷ τόκῳ σου ἄχραντε, ρῦσαί με τῶν παγίδων, τοῦ δολίου Βελίαρ, στῆσον με ἐπὶ πέτραν, τῶν Χριστοῦ θελημάτων, αὐτὸν ἐκδυσωποῦσα θερμῶς ὃν ἐσωμάτωσας.

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα.*

*Ἦχος δ'.*

Επεφάνη σήμερον.

**Η** εἰκὼν ὑπέρλαμπρος, νῦν ἀνεφάνη, ἡ ἐν γῇ καὶ χώμασι, χρόνοις ἐκρύπτετο πολλοῖς, δόξαν τὴν σὴν ἐμφανίζουσα, ἣν ἔχεις Μάρτυς, ἐν οὐρανῷ πρὸς Θεόν.

Δόξα καὶ νῦν. Θεοτοκίον.

**Π**ροστασία ἄμαχε, τῶν θλιβομένων, καὶ θερμὴ ἀντίληψις, τῶν πεποιθότων ἐπὶ σὲ, ἀπὸ κινδύνων με λύτρωσαι, σὺ γὰρ ὑπάρχεις ἡ πάντων βοήθεια.

Εἶτα οἱ Ἀναβαθμοὶ, τὸ ά, Ἀντίφωνον τοῦ δ'. Ἤχου.



*Τὸ Προκείμενον, ἦχος δ'.*

» Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

*Στίχ: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.*

Τὸ Πᾶσα πνοή. Καὶ τὸ Εὐαγγέλιον. ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβάλουσι γὰρ ἐφ' ὑμᾶς. κτλ.

Εἶτα ὁ Ν'. Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου.

Εἶτα, Ἐλέησόν με ὁ Θεός.

*Καὶ ψάλλομεν τὸ Ἰδιόμελον. Ἦχος β'.*

**Σ**ήμερον ἡ οἰκουμένη πᾶσα, ταῖς τοῦ Ἀθλοφόρου αὐγάζεται ἀκτῖσι, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία τοῖς ᾄσμασιν ὡραϊζομένη, Φανούριε βοᾷ σοι θεράπον Χριστοῦ, καὶ προστάτα ἡμῶν θερμώτατε· μὴ ἐλλείπῃς πρεσβεύειν ὑπὲρ ἐμοῦ πρὸς Κύριον.

Τὸ, Σῶσον ὁ Θεὸς, τὸν Λαόν σου.

Τὸ, Κύριε ἐλέησον, ιβ'. Εἶτα οἱ Κανόνες.

*Ὁ Κανὼν τῆς Θεοτόκου εἰς ς'. Καὶ τοῦ Ἁγίου εἰς η'.*

Ὁ Κανὼν τοῦ Ἁγίου.

*Ὠδὴ ά. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.*

**Α**ἰνέσωμεν πάντες πιστοὶ Χριστὸν, τὸν δόντα τοιαύτην, ἐξουσίαν τοῖς χοϊκοῖς, δολίου τὰ θράση καταλύειν, μεθ' ὧν ὑμνείσθω φαιδρῶς ὁ Φανούριος.

**Φ**ῶς θεῖον ἐδείχθης ἀειλαμπὲς, Φανούριε Μάρτυς,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

καὶ τὸν κόσμον φωταγωγεῖς, ἐν ᾧ σε φωστῆρα εὑρηκότες, ᾄσμασι θείοις εὐφημοῦμέν σε.

Τὸν νέον Ὁπλίτην καὶ Ἀθλητὴν, φανέντα ἐν Ρόδῳ, κἂν ἐκρύπτετο πρὸ πολλοῦ, ὡς νέον ὑμνοῦμεν, καὶ ὡς πάλαι, ὑπὲρ Χριστοῦ στερρῶς ἀθλήσαντα.

Θεοτοκίον.

Ὅλον μου τὸν πόθον πρὸς σὲ κινῶ, ἀνύμφευτε Μῆτερ, ἡ τεκοῦσα τὸν λυτρωτὴν, ψυχήν μου ἀθλίαν ἐν τῇ ὥρᾳ, τῆς καταδίκης ἐλευθέρωσον.

Καταβασία.

»Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ τὴν »ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι, τὴν δὲ ἐπι»στρεπτικῶς Φαραὼ τοῖς ᾄσμασι κροτήσας ἥνωσεν, ἐπ' »εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ »ᾄσωμεν τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

*Ὠδὴ γ. Σὺ εἶ τὸ στερέωμα.*

Ὕμνοις τὸν Φανούριον, δαβιτικῶς φαιδρῶς ᾄσωμεν, ὡς θαυμαστὸς, τοῖς Ἁγίοις ὄντως, ὁ Θεός ἐστι λέγοντες.

Ῥῶσιν μοι δωρήσασθαι, τῶν ψυχικῶν παθῶν Ἅγιε, σαῖς προσευχαῖς, αἴτησαι ταῖς θείαις, ὅπως τύχω ἀφέσεως.

Θεοτοκίον.

Εὕρω σε προστάτην μου, ἐν τοῖς κινδύνοις πανάχραντε, Μῆτερ Θεοῦ, μετὰ Φανουρίου, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Καταβασία.

»Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται, »τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα, τῇ στειρευούσῃ »δὲ πρώην ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον σταυροῦ, εἰς κράτος καὶ στερέωμα.



*Κάθισμα, Ἦχος πλ. δ'.*

Τὴν Σοφίαν καὶ Λόγον.

Τοὺς ἱδρῶτας καὶ πόνους, σοφὲ τοὺς σοὺς, γεγραμμένους ὁρῶντες πάντες πιστοὶ, εἰκόνι τιμίᾳ σου, τὰς ψυχὰς ἐπεγείρονται, πρὸς τοὺς θείους ὕμνους, καὶ δόξαν καὶ αἴνεσιν, τῷ Δεσπότῃ τῶν ὅλων, παμμάκαρ προσφέρουσι, πόθῳ δὲ ἡ Πόλις, εὐφημεῖ σε Ροδίων, ἀξίως σε μέλποντες, Ἀθλοφόρε Φανούριε, καὶ ἡμεῖς ἐκβοῶμεν σοι: πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. καὶ νῦν. Θεοτοκίον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινὴν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην πανάμωμε ἁμαρτιῶν τε φόρτῳ, φανεῖσαν ὑπέραντλον, καὶ εἰς πυθμένα ᾅδου, πεσεῖν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τῇ θερμῇ σου πρεσβείᾳ, καὶ σῶσον παρέχουσα, τὸν λιμένα τὸν εὔδιον, ἵνα πίστει κραυγάζω σοι, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν, ἐν πίστειν τὸν ἄσπορον τόκον σου.

*Ὠδὴ δ. Εἰσακήκοα Κύριε.*

Λίθοις Μάρτυς βαλλόμενος, σοῦ τὸ θεῖον στόμα καὶ τιμιώτατον, δι' οὗ Κύριον ἐδόξαζες, τὸν δοξάσαντά σε ἐν τοῖς θαύμασι.

Ἐπλατύνθη πρὸς αἴνεσιν, τὸ σὸν θεῖον στόμα, λί-

θοις συνθλώμενον, τοῦ Θεοῦ καὶ ἀνεκραύγαζες, ἤκλυσα σὸν πνεῦμα, διὰ στόματος.

Καὶ ἐν ράβδοις τυπτόμενος, ἔφερες γενναίως Μάρτυς Φανούριε, τὰς πληγὰς φαιδρῶς τὸ πρόσωπον, ὥσπερ ἄλλου ὄντος σοῦ τοῦ πάσχοντος.

Θεοτοκίον.

Ἰσουργὸν τῷ γεννήτορι, λόγον ἐκ λαγόνων σου ἐσωμάτωσας, ὅθεν ὤφθης ὑπερέχουσα, ποιημάτων, Κόρη Δέσποινα.

Καταβασία.

»Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ Μυστή-
»ριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν
»Θεότητα.

*Ὠδὴ ε', Ἵνα τί με ἀπώσω.*

Ἵνα τί με βιάζῃς, Κύριον ἀρνήσασθαι, ὃν ἐπεπόθησα ἐκ μητρῴων σπλάγχνων; καὶ αὐτὸν νῦν ποθῶ ἀγκαλίσασθαι, διὰ τῶν βασάνων, καὶ μετ' αὐτοῦ συμβασιλεῦσαι, τῷ τυράννῳ ἐβόα Φανούριος.

Ἵνα τί ταῖς θωπείαις, σπεύδεις ἀτονῆσαί μου ψυχῆς τὸ εὔτονον; ἣν θερμαίνει χάρις, ἐπιλάμψεσι θείαις φωτίζουσα, σὺ δὲ νῦν μωραίνεις, αὐτὴν χαυνῶσαι πονηρίαις, τῷ τυράννῳ ἐβόα Φανούριος.

Ἵνα τί ταῖς θωπείαις, σπεύδεις ἐκχαυνῶσαί μου ψυχῆς τὸ πρόθυμον; τριχὸς γὰρ οὐκ ἔχεις, κἂν ἐγγίσαι καὶ ταύτας γὰρ Κύριος, ἀριθμῷ κατέχει, σὺ δὲ πονῶν καταλυθήσῃ ἀνεβόα λαμπρῶς ὁ Φανούριος.

Θεοτοκίον.

Μυστικὴ μυροθήκη, χαῖρε τὸ ἡδύπνοον μῦρον ἡ βρύουσα, χαῖρε θεία κρήνη, ἡ τὸ ὕδωρ τὸ ζῶν ἀναβλύζου-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠ



σα· χαῖρε ἡ τὸ βότρυν, τὸν τῆς ζωῆς καρποφοροῦσα, ἀγεώργητος ἄμπελος Δέσποινα.

Καταβασία.

»Ὢ τρισμακάριστον ξύλον. ἐν ᾧ ἐτάθη Χριστὸς ὁ
»Βασιλεύς, καὶ Κύριος. δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπα-
»τήσας, τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι
»σαρκί, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

*Ὠδὴ ς. Ἱλάσθητί μοι Σωτήρ.*

Ἡ Ρόδος νῦν σε φρουρόν, καὶ πᾶσα Πόλις συλλήπτορα, ὁ Οὐρανὸς οἰκιστήν, οἱ Ἄγγελοι σύσκηνον, ἡ γῆ δὲ ἐπλούτησε, θησαυρὸν χαρίτων, ὦ Φανούριε πανθαύμαστε.

Θεὸς ἐκ βάθρων τῆς γῆς, πηγὴν θαυμάτων ἀνέβλυσε, τὸν Φανουρίου Ναόν, ἐξ οὗ οἱ προστρέχοντες, τῶν κινδύνων λύτρωσιν, καὶ σωμάτων ρῶσιν, καὶ ψυχῆς τροφὴν λαμβάνουσιν.

Ἐν τῇ καμίνου φλογί, αἱ τρίχες οὐ κατεφλέχθησαν, ἐν τῇ καρδίᾳ σου γάρ, ἄλλο πῦρ ἐκρύπτετο, ἀγάπης τοῦ κτίστου σου, Ἀθλητὰ γενναῖε, ὑπὲρ οὗ τὸ σῶμα προὔδωκα.

Θεοτοκίον.

Ἡ ἀγεώργητος γῆ, τὸν γεωργὸν ἡ κυήσασα, καὶ πάντων δημιουργόν, τὴν ὑλομανήσασαν, ψυχήν μου τοῖς πάθεσι, καρποφόρον δεῖξον διὰ θείας ἐπιγνώσεως.

Καταβασία.

»Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς σταυ-
»ροειδῶς διεκπετάσας, τὸ σωτήριον Πάθος προδιετύπου
»σαφῶς· ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνά-
»στασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χρι-